# Συναξάριον

Τῇ 17ῃ τοῦ αὐτοῦ Μηνός, μνήμη τοῦ Ἁγίου Ἰωακεὶμ τοῦ Πάνυ, Πατριάρχου Ἀλεξανδρείας.

*Πίστει ὑπάρχων ὁ Πάνυ ὄντως μέγας,*
*Δὶς μέγας ὤφθη θαύμασι ξενηκούστοις.*
*Ἑβδομάτῃ δεκάτῃ τε Πάνυ θάνε Ἰωακείμ.*

Οὗτος, ἦν ἐκ τῆς περιωνύμου πόλεως τῶν Ἀθηνῶν, γεννηθεὶς ἐν ἔτει σωτηρίῳ 1448ῳ, ἐκ γονέων εὐσεβῶν, οἵτινες παραλαβόντες αὐτόν, ὀκταετὲς παιδίον ἔτι ὄντα, ἀποδημίᾳ χρησάμενοι διὰ τὸν φόβον τῶν Ἀγαρηνῶν, ἦλθον καὶ κατῴκησαν ἐν Αἰγύπτῳ. Ποθῶν δὲ ἔνθέῳ ζήλῳ τὴν ἰσαγγελον διαγωγήν, προσῆλθεν ἔμπλεως θείου ἔρωτος τῇ Μονῇ τῆς Ἁγίας Αἰκατερίνης τῇ ἐν τῷ ὄρει Σινᾷ, ἔνθα περιηβλήθη τὸ τῶν μοναχῶν σχῆμα. Ἔνθεν δέκα καὶ δύο παρελυληθότων ἐνιαυτῶν, τὸ Σίναιον καταλιπών, τὴν τοῦ Ὁσίου Σάββα Λαύραν κατέλαβεν, ἐν ᾗς καὶ ἡγούμενος κατεστάθη. Τέσσαρας οὖν χρόνους ἐν τῇ ῥηθείσῃ Λαύρᾳ βιοτεύσας, τὴν Ἱερουσαλὴμ κατέλαβεν, ἐν τῷ παναγίῳ Ναῷ τῆς Χριστοῦ Ἀναστάσεως ὑπηρετῶν. Ὅθεν, ἐπ’ ἀρετῇ καὶ σοφίᾳ διαλάμψας, ἐξελέγη, ἄκων καὶ μὴ βουλόμενος, ψήφῳ κλήρου τε καὶ λαοῦ, Πατριάρχης Ἀλεξανδρείας καὶ ἐχειροτονήθη τῇ 6ῃ Αὐγούστου τοῦ 1487ου σωτηρίου ἔτους ἐν Δαμασκῷ.

Οὗτος καὶ θαύματα παράδοξα εἰργάσατο, ὅτε κακόβουλός τις Ἑβραῖος, ἐπιβουλῇ κατ’ αὐτοῦ καὶ τῆς ἁγίας Ἐκκλησίας ἐχρήσατο. Ὄρος γάρ, ἔξω τῆς

πόλεως τοῦ Καΐρου ὑψούμενον, τῇ προσευχῇ γονυκλινὴς προσκαρτερήσας, τριχοτομηθὲν μετεκίνησε καὶ ποτήριον πλῆρες ἰοῦ θανατηφόρου ἀβλαβῶς ἔπιε. Ὅθεν, ὁ μὲν ἡγεμών, τῷ παραδόξῳ θεάματι ἐκστὰς ἐπίστευσε τῷ Χριστῷ, ὁ δὲ Ἑβραῖος, ἀτίμῳ θανάτῳ ἀπώλετο, ἀποπλύνας ὕδατι τὸ ποτήριον καὶ εἶτα τὸ ἀπόπλυμα, κελεύσει τοῦ ἡγεμόνος πιών. Ποιμάνας οὖν θεαρέστως, ἐν γήρατι καλῷ μετέστη πρὸς τὰς αἰωνίους ἀναπαύσεις τῇ 17ῃ Σεπτεμβρίου, ἐν ἔτει 1567, 80 ἔτη πατριαρχεύσας.